τῇ γραφῇ ὡς ἐκ πάντων ἐναντιούμεθα· ἀλλ' οὐ διὰ τοῦ τὸ
ἡμῖν ἀπογνῶσαι· μὴ γένοιτο· οὐ γὰρ ἐπὶ τῷ πλήθει
τῶν κακῶν κρινόμεθα· ἀλλ' ἐπὶ τὸ μὴ θέλειν μετα-
νοῆσαι καὶ γνῶναι τὰ τοῦ Χριστοῦ θαυμάσια· δοκεῖτε
γάρ φησιν ὅτι ὧν τὸ αἷμα ἔμιξε Πιλᾶτος με-
τὰ τῶν θυσιῶν ἁμαρτωλότεροι ἦσαν παρὰ πάν-
τας τοὺς ἐπὶ τῆς γῆς; οὐ λέγω ὑμῖν· ἀλλ' ἐὰν
μὴ μετανοήσητε, ὡσαύτως ἀπολεῖσθε· ἢ
οἱ δέκα καὶ ὀκτὼ ἐφ' οὓς ἔπεσεν ὁ πύργος
τοῦ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς· δοκεῖ-
τε ὅτι ἁμαρτωλότεροι ἦσαν παρὰ πάν-
τας τοὺς κατοικοῦντας Ἱερουσαλήμ; οὐ λέγω ὑμῖν·
ἀλλ' ἐὰν μὴ μετανοήσητε, ὡσαύτως ἀ-
πολεῖσθε· ὁρᾷς ὅτι διὰ τὸ ἀπιστῆσαι τῷ με-
τανοεῖν κρινόμεθα; μετάνοια δὲ ὡς
οἶμαι, οὔτε κινήσεσιν οὔτε πράγμασι προσγί-
νεται· ἀλλὰ διὰ τῶν τοῦ Χριστοῦ ἐντολῶν· ἀναλόγως
ὑποτιθεμένη· ἐντολαὶ δέ τινες φορτικώτεραι
καὶ τοιαῦται τυγχάνουσι· πολλὰς τῶν ἐντολῶν ἐνέ-
κα ταῖς προσέχουσι· καὶ πολλὰ μόρια καλῶς

+ καθὼς μὴ παρέλαβον τὴν ἀλήθειαν +